**Le Notre Père dans les trois évangiles**

avec l'aimable autorisation des éditions numériques Soleil d'Orient

**Marc XI v 25**

25 καὶ ὅταν στήκετε προσευχόμενοι,
ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα
καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς
ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν.

**Matthieu chap 6 v 9 à 13**

9 Οὕτως οὖν προσεύχεσθε ὑμεῖς·
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
10 ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.
11 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς
ἡμῖν σήμερον,
12 καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις
ἡμῶν·
13 καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς
πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**Luc chap 11 v 2 à 4**

2 εἶπεν δὲ αὐτοῖς· ὅταν προσεύχησθε
λέγετε·
Πάτερ, ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου.

3 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου
ἡμῖν τὸ καθ' ἡμέραν·

4 καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ
γὰρ αὐτοὶ ἀφίομεν παντὶ ὀφείλοντι ἡμῖν·

καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.